NON licere clerico in duarum ciuitatum Eccleſiis eodem tempore in catalogum referri, & in ea in qua à principio ordinatus eſt, & in ea in quam, tanquam ad maiorem confugit, propter inanis gloriæ cupiditatem: eos autem qui hoc faciunt propriæ Eccleſiæ reſtitui, in qua ab initio ordinati ſunt, vt illic ſolum miniſtrent: ſed ſi iam quipiam ex alia in aliam Eccleſiam tranſlati ſunt, nihil prioris Eccleſiæ, vel eorum quæ ſub ea ſunt martyriorum, vel ptochotrophiorum, vel xenodochiorum rebus communicare. Eos autem qui auſi fuerint poſt magnæ huius & vniuerſalis ſynodi definitionem, aliquid eorum quæ ſunt prohibita, facere, ſtatuit ſancta ſynodus eos proprio gradu excidere.

Calchedonenſis Canon XX.

CLERICOS in Eccleſiis miniſterio fungentes, quemadmodum iam ſtatuimus non licere in alterius ciuitatis Eccleſia ordinari: ſed illa eſſe contentos, in qua ab initio vt miniſtrarent, digni habiti ſunt: præter illos qui amiſſa ſua patria in aliam Eccleſiam neceſſariò tranſierunt. Si qui autem Epiſcopi poſt hoc decretum, clericum qui ad alium Epiſcopum pertinet, ſuſceperint, placuit eſſe excommunicatos, eúmque qui ſuſceptus eſt, & eum qui ſuſcepit, donec clericus qui migrauit in ſuam Eccleſiam redeat.

Τῆς ἐν Καλχηδόνι ϗμωὰν ιʹ.

ΜΗ ἐξεῖναι κληρικὸν ἐν δύο πόλεων καπὰ τὠὐτὸν καταλέγεσθαι ἐκκλησίαις, ἐν ᾗ τε πλεῖ ἀρχεῖ ἐγγεγράφθη, καὶ ἐν ᾗ παρεγένετο, ὡς μείζονι δῆθεν, ἀφ' ὑβρεως κενῆς ὀρεγόμενον· τοὺς δέγε τοῦτο ποιοῦντας ἀποκαθίστασθαι τῇ ἰδίᾳ ἐκκλησίᾳ ἐν ᾗ ἐξ ἀρχῆς ἐγγεγράφθησαν, καὶ ἐκεῖ μόνον λειτουργεῖν. Εἰ μέντοι ἤδη τινὲς μετῆλθόν ἐξ ἄλλης εἰς ἄλλην ἐκκλησίαν, μηδὲν τοῖς τῆς παρούσης ἐκκλησίας, ἤτοι τῷ ἐπ' αὐτῇ μαρτυρίων, ἢ πτωχείων, ἢ ξενοδοχείων ὑπάρχουσι παραμιγνύειν πράγμασι. τοὺς δέγε τολμῶντας μετὰ τὸν ὅρον τοῦτον τῆς μεγάλης καὶ οἰκουμενικῆς συνόδου παρά τε τῶν ἀπηρθρωμένων, ὥρισεν ἡ ἁγία σύνοδος ἐκπίπτειν τοῦ ἰδίου βαθμοῦ.

Τῆς ἐν Καλχηδόνι ϗμωὰν κʹ.

ΚΛΗΡΙΚΟΥΣ εἰς ἐκκλησίαν τελοῦντας, καθὼς ἤδη ὡρίσαμεν, μὴ ἐξεῖναι εἰς ἄλλης πόλεως ἐπιτίθεσθαι ἐκκλησίᾳ, ἀλλὰ τέρπειν ἐκείνῃ ἐν ᾗ λειτουργεῖν ἐξ ἀρχῆς ἠξιώθησαν, ἐκτὸς ἐκείνων, οἵτινες ἀποστάντες τὰς ἰδίας πατρίδας ἀπὸ ἀνάγκης εἰς ἄλλην ἐκκλησίαν μετῆλθον. Εἰ δέ τις ἐπίσκοπος μετὰ τὸν ὅρον τοῦτον ἄλλου ἐπισκόπου παροικοῦντα δέξηται κληρικὸν, ἔδοξεν ἀκοινώνητον εἶναι, καὶ τὸν δεχθέντα καὶ τὸν δεχόμενον, ἕως ἂν ὁ μεταστὰς κληρικὸς εἰς τὴν ἰδίαν ἐπανέλθῃ ἐκκλησίαν.

TITVLVS XX.

Non oportere clericos præter voluntatem ſui Epiſcopi peregrè proficiſci, neque abſque illius literis in aliam vrbem recipi, & munera obire: ſed ſtatim redire, aut ſi nolint, penitus abdicari: & de iis qui debent ſiue pacificis, ſiue

ΤΙΤΛΟΣ Κʹ.

Περὶ τοῦ μὴ δεῖν κληρικοὺς παρὰ γνώμην τοῦ ἰδίου αὐτῶν ἐπισκόπου ἀποδημεῖν, μήτε δίχα γραμμάτων αὐτοῦ δεχθῆναι αὐτοὺς ἐν ἑτέρᾳ πόλει, καὶ λειτουργεῖν ἀλλὰ ταχέως ἐπιστρέφειν, ἢ μὴ θέλοντας καθαιρεῖσθαι πλείως. καὶ περὶ τῶν ὀφειλόντων εἴτε εἰρηνικοῖς, εἴτε

συσταπικοῖς ἐπιστολίοις ἐφοδιάζεσθαι.

commendatitiis literis tanquam viatico inſtrui.

Τῶν ἁγίων Ἀποστόλων κανὼν ιε'.

Εἴ τις πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ κληρικοῦ, ἀπολείψας τὴν ἑαυτοῦ παροικίαν, εἰς ἑτέραν ἀπέλθῃ, καὶ πάντελῶς ἀφῇ ἀφεῖσθαι ἐν ἄλλαις παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου, τοῦτον κελεύομεν μὴ λειτουργεῖν, εἰ μάλιστα παρακαλουμένου αὐτὸν τοῦ ἐπισκόπου ἐπιμεληθῆναι, οὐχ ὑπακούσῃ, ἐπιμένων τῇ ἀπειθείᾳ· ὡς λαϊκὸς μέντοι ἐκεῖσε κοινωνείτω.

Sanctorum Apoſtolorum Canon XV.

SI quis preſbyter, vel diaconus, vel omnino ex clericorum catalogo, relictâ ſuâ parochiâ in aliam abſceſſerit, & cùm penitus tranſierit præter ſui Epiſcopi ſententiam in alia parochia maneat, cum non ampliùs celebrare iubemus, maximè ſi eum adhortante Epiſcopo vt rediret, non paruerit, in contumacia & inſolentia perſeuerans: is tamen vt laïcus ibi communicet.

Τῶν ἁγίων Ἀποστόλων κανὼν λγ'.

Μηδένα τῶν ξένων ἐπισκόπων, ἢ πρεσβυτέρων, ἢ διακόνων ἄνευ συστατικῶν γραμμάτων προσδέχεσθαι· καὶ ἐπιφερομένων αὐτῶν, ἀνακρίνεσθαι. καὶ ἐὰν μὲν ὦσι κήρυκες τῆς εὐσεβείας, προσδέχεσθαι αὐτοὺς ἐν εἰ δὲ μήγε, τὰ πρὸς χρείας αὐτῶν ἐπιχορηγήσαντες, εἰς κοινωνίαν αὐτοὺς μὴ προσδέχεσθαι· πολλὰ γὰρ τὰ συναρπαγέντα ψεύδη.

Sanctorum Apoſtolorum Canon XXXIII.

NVLLVS externorum Epiſcoporum, vel preſbyterorum, vel diaconorum, ſine literis commendatitiis recipiatur: has verò dum ferunt, examinentur. Si prædicatores pietatis extiterint, ſuſcipiantur: ſin minùs, nec quæ ſunt neceſſaria ſubminiſtrentur eis, nec ad communionem admittantur. Multa enim per ſubreptionem fiunt.

Τῆς ἐν Καλχηδόνι κανὼν ια'.

Πάντας τοὺς πένητας καὶ δεομένους ἐπικουρίας μετὰ δοκιμασίας ἐπιστολίοις, ἤγουν εἰρηνικοῖς ἐκκλησιαστικοῖς μόνοις ὁδεύειν ὡρίσαμεν, καὶ μὴ συστατικοῖς, ἀφ' ὧν τὰς συστατικὰς ἐπιστολὰς ἀπαιτεῖσθαι τοῖς οὕτως ἐν ὑποψίᾳ μόνοις ἀπροσώποις προσέχεσθαι.

Calchedonenſis Canon XI.

OMNES pauperes, & qui auxilio indigent, cum examinatione, cum epiſtolis ſeu pacificis Eccleſiaſticis ſolis viam ingredi ſtatuimus, & non cum commendatitiis: quoniam literas commendatitias iis ſolis perſonis quæ ſunt ſuſpectæ, præberi oportet.

Τῆς αὐτῆς κανὼν κγ'.

Ἦλθεν εἰς τὰς ἀκοὰς τῆς ἁγίας συνόδου, ὡς κληρικοί τινες καὶ μοναζοντες μηδὲν ἐγκαλούμενοι ὑπὸ τοῦ ἰδίου ἐπισκόπου, ἔστι δ' ὅτε καὶ ἀκοινώνητοι γινόμενοι πρὸς αὐτόν, καταλαμβάνοντες τὴν βασιλεύουσαν Κωνσταντινούπολιν, ἐπὶ πολὺν ἐν αὐτῇ διατρίβουσιν, παραχαὶ ἐμποιοῦντες, καὶ θορυβοῦντες τὴν ἐκκλησίαν, διαβέποισι οἴκους ἀνατρέπουσιν. ὥρισε τοίνυν ἡ ἁγία σύνοδος, τοὺς τοιούτους ὑπομιμνήσκεσθαι μὲν πρότερον διὰ τοῦ ἐκδίκου τῆς ἐν Κωνσταντινουπόλει ἁγίας ἐκκλησίας, ὅτι ὀφείλουσιν ἐξελθεῖν τῆς βασιλευούσης πόλεως, εἰ δὲ τοῖς αὐτοῖς πράγμασιν ὑπομένοιεν ἀναισχυντοῦντες, καὶ ἄκοντας αὐτοὺς διὰ τοῦ αὐτοῦ ἐκδίκου

PERVENIT ad aures ſanctæ ſynodi, quòd clerici quidam & monachi, quibus nihil à proprio Epiſcopo mandatum eſt, & ſunt etiam nonnunquam ab ipſo communione ſegregati, ad Imperialem Conſtantinopolis vrbem ſe conferunt, & in eâ diu morantur, turbas excitantes, & ſtatum Eccleſiaſticum perturbantes, aliquorum domos ſubuertunt. Statuit ergo ſancta ſynodus, vt ij priùs à ſanctiſſimæ Conſtantinopolitanæ Eccleſiæ defenſore admoneantur, vt Imperiali vrbe excedant: Si autem in iiſdem negotiis impudenter perſeuerent, vt per proprium defenſorem eii-

ciantur, & in propria loca reuertantur.

Nicæni Canon XVI.

QVICVNQVE temerè & inconsideratè, nec Dei timorem præ oculis habentes, nec Ecclesiasticum canonem scientes, presbyteri, vel diaconi, vel quicunque omnino in canone recensentur, ab Ecclesiis secesserint, ij in aliena Ecclesia nullo modo recipi debent: sed omnino cogendi sunt in suas ipsorum parochias redire, vel si perseuerent, eos à communione separatos esse oportet. Sin autem etiam ausus fuerit quispiam eum qui ad alium pertinet surripere, & in Ecclesia ordinare, non consentiente proprio Episcopo, à quo recessit qui in canone censetur, irrita sit ordinatio.

Antiocheni Canon III.

SI quis presbyter, vel diaconus, vel quis omnino ex sacerdotali ordine, relictâ suâ parochiâ, in aliam abierit: deinde omnino commigrans, in alia parochia longo tempore versari conatur: ne ampliùs celebret, maximè si proprio vocanti Episcopo vt in suam parochiam redeat, exhortantique non pareat. Si autem in insolentia perseuerat, is omnino à sacro ministerio deponatur, vt nequaquam locum restitutionis inueniat. Si autem eum qui propter hanc causam depositus est, alius Episcopus receperit, ille quoque à communi synodo puniatur, vt qui ritus Ecclesiasticos dissoluat.

Sardicensis Canon XVI.

AETIVS Episcopus dixit: Non ignoratis cuiusmodi & quanta sit Thessalonicensium Metropolis. Sæpe itaque ad eam ex aliis prouinciis presbyteri & diaconi accedunt: & breuis temporis morâ non contenti permanent, & omne tempus illic agentes transigunt, vel vix tandem post plurimum tempus in suas Ecclesias reuerti coguntur. De iis ergo definiendum est. Osius Episcopus dixit: Ea decreta quæ de Episcopis constituta sunt, seruentur etiam in huiusmodi personis.

ἐκβάλλεσθαι, καὶ τοὺς ἰδίους καταλαμβάνειν τόπους.

Τῆς ἐν Νικαίᾳ χωρὼν ις'.

ΟΣΟΙ ῥιψοκινδύνως, μήτε τὸ φόβον τοῦ θεοῦ πρὸ ὀφθαλμῶν ἔχοντες, μήτε τὸν ἐκκλησιαστικὸν κανόνα εἰδότες, διὰ χωρήσουσι τὰς ἐκκλησίας, πρεσβύτεροι ἢ διάκονοι, ἢ ὅλως ἐν τῷ κανόνι ἐξεταζόμενοι, ὅτοι οὐδαμῶς δεκτοὶ ὀφείλουσιν εἶναι ἐν ἑτέρᾳ ἐκκλησίᾳ, ἀλλὰ πάσῃ μηχανῇ ἀναγκάζεσθαι αὐτοὺς ἐπανελθεῖν καὶ, διαστρέφειν εἰς τὰς ἑαυτῶν παροικίας, ἢ βιαιμώτερος εἶναι, ἀκοινωνήτους εἶναι προσήκει. εἰ δὲ καὶ παλιμποδήσῃ τις ὑφαρπάσαι τινὰ τῶν ἑτέρου διάφερον, καὶ χειροτονῆσαι ἐν τῇ αὐτῇ ἐκκλησίᾳ, μὴ συγκαταθεμένου τοῦ ἰδίου ἐπισκόπου, ᾧ ἀναχωρήσει ὁ ἐν τῷ κανόνι ἐξεταζόμενος, ἄκυρος ἔστω ἡ χειροτονία.

Τῆς ἐν Ἀντιοχείᾳ χωρὼν γ'.

ΕΙ τις πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τῶν ἐν ἱερατικῷ τάγματος, καταλιπὼν τὸν ἑαυτοῦ παροικίαν, εἰς ἑτέραν ἔλθοι, ἔπειτα πολυτελῶς μετοικεῖν, διατείθοι ἐν ἀλλοτρίᾳ παροικίᾳ πλειῶνα ὅτι πολλοῦ χρόνου, μηκέτι λειτουργεῖν, εἰ καὶ μάλιστα καλοῖτο τοῦ ἐπισκόπου ἰδίου, καὶ ἐπανελθεῖν εἰς τὴν παροικίαν τὴν ἑαυτοῦ παραινοῦντι μὴ πειθαρχοῦντα, ἀλλὰ βιαιμώτερον τῇ ἀταξίᾳ, πολυτελῶς αὐτὸν καθαιρεῖσθαι τῆς λειτουργίας, ὡς μηκέτι χώραν ἀποκαταστάσεως ἔχειν. Εἰ δὲ καθαιρεθείη διὰ ταύτην τὴν αἰτίαν δέχοιτο ἕτερος ἐπίσκοπος, καὶεῖνον βιαιμώτερον τυγχάνειν τοῦ κοινῆς συνόδου, ὡς παραλύοντα τοὺς νόμους τοὺς ἐκκλησιαστικούς.

Τῆς ἐν Σαρδικῇ χωρὼν ις'.

ΑΕΤΙΟΣ ἐπίσκοπος εἶπεν· Οὐκ ἀγνοεῖτε οἵα καὶ πηλίκη τυγχάνει ἡ τῶν Θεσσαλονικέων μητρόπολις. πολλάκις γάρ τοι οἱ ἐκ διαφόρων ἐπαρχιῶν πρεσβύτεροι καὶ διάκονοι παραγίνονται· καὶ οὐκ ἀρκούμενοι βραχείᾳ διαγωγῇ χρόνου ἐναπομένουσι, καὶ ἅπαντα τὸν χρόνον αὐτόθι ποιούμενοι διατελοῦσιν, ἢ μόλις ποτὲ μετὰ πλεῖστον χρόνον εἰς τὰς ἑαυτῶν ἐπαρχίας ἐπανιέναι ἀναγκάζονται· περὶ τῶν τοιούτων οὖν ὁριστέον. Οσιος ἐπίσκοπος εἶπεν· οὗτοι οἱ ὅροι οἱ καὶ ὑπὸ τῶν ἐπισκόπων ὡρισμένοι φυλαττέσθωσαν, καὶ ὑπὸ τούτων τῶν προσώπων.

Τῆς ἐν Λαοδικείᾳ κανὼν μα'.

ΟΤΙ οὐ δεῖ ἱερατικὸν, ἢ κληρικὸν ἄνευ κελεύσεως τοῦ ἐπισκόπου ἀποδημεῖν.

ΤΙΤΛΟΣ ΚΑ'.

Περὶ χωρεπισκόπων καὶ πρεσβυτέρων ἀγροικούντων, καὶ τῶν προσηκούσης αὐτοῖς ἱερουργίας.

Τῆς ἐν Ἀγκύρᾳ κανὼν ιγ'.

ΧΩΡΕΠΙΣΚΟΠΟΙΣ μὴ ἐξεῖναι πρεσβυτέρους, ἢ διακόνους χειροτονεῖν, ἀλλὰ μὲν μηδὲ πρεσβυτέρους πόλεως, χωρὶς τῶν ἐπιτραπῶσι παρὰ τοῦ ἐπισκόπου μετὰ γραμμάτων ἐν ἑκάστῃ παροικίᾳ.

Τῆς ἐν Νεοκαισαρείᾳ κανὼν ιγ'.

ΕΠΙΧΩΡΙΟΙ ἐπίσκοποι ἢ πρεσβύτεροι ἐν ᾧ κωμοπόλει τῆς πόλεως προσφέρειν οὐ δύνανται παρόντος ἐπισκόπου, ἢ πρεσβυτέρου τῆς πόλεως, ὅτι μὲν ἄρτον διδόναι εἰς εὐχὴν, οὐδὲ ποτήριον. ἐὰν δὲ ἀπῶσι, καὶ εἰς εὐχὴν κληθῇ ὁ ἐπιχώριος μόνος, δίδωσιν. οἱ δὲ χωρεπίσκοποι εἰσὶ μὲν εἰς τύπον τῶν ἑβδομήκοντα, ὡς δὲ συλλειτουργοὶ ἕνεκα τοῦ σπουδαίου τοῦ εἰς τοὺς πένητας προσφέρουσι τιμώμενοι.

Τῆς ἐν Ἀντιοχείᾳ κανὼν ζ'.

ΜΗΔΕΝΑ ἄνευ εἰρηνικῶν διέχειν τῶν ξένων· μηδὲ πρεσβυτέρους τοὺς ἐν ταῖς χώραις κανονικὰς ἐπιστολὰς ἐπιδιδόναι, ἢ πρὸς μόνους τοὺς γείτονας ἐπισκόπους ἐπιστολὰς ἐκπέμπειν. τοὺς δὲ ἀνεπιλήπτους χωρεπισκόπους διδόναι εἰρηνικά.

Τῆς αὐτῆς κανὼν ι'.

ΤΟΥΣ ἐν ταῖς χώραις ἢ κώμαις, ἢ τοὺς καλουμένους χωρεπισκόπους, εἰ καὶ χειροθεσίαν εἴληφότας ἐπισκόπων εἰλήφοτες, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, εἰδέναι τὰ ἑαυτῶν μέτρα, καὶ διοικεῖν τὰς ὑποκειμένας αὐτοῖς ἐκκλησίας, καὶ τῇ τούτων ἐφεῖσθαι φροντίδι καὶ οἰκονομίᾳ· κληρικοὺς δὲ διαγράφειν καὶ ὑπο-

Laodiceni Canon XLI.

QVOD non oportet eum qui eſt ſacratus, vel clericus, ſine iuſſu Epiſcopi peregrè proficiſci.

TITVLVS XXI.

De Chorepiſcopis & presbyteris qui in agris degunt, & ſacro miniſterio ipſis conueniente.

Ancyrani Canon XIII.

CHOREPISCOPIS non licere preſbyteros, vel diaconos ordinare, ſed neque vrbis preſbyteris, niſi cum literis ab Epiſcopo permiſſum fuerit, in vnaquaque parochia.

Neocæſarienſis Canon XIII.

EPISCOPI vel preſbyteri ruris non poſſunt in Eccleſia ciuitatis offerre præſente Epiſcopo, vel preſbyteris vrbis: neque panem dare precationis, neque calicem. Sin autem abſint, & ſolus ad precationem vocatus fuerit, dat. Chorepiſcopi autem ſunt quidem in figura ſeptuaginta: vt autem comminiſtri, propter ſtudium in pauperes, offerunt honorati.

Antiocheni Canon VII.

NVLLVS externus ſine pacificis ſuſcipiatur. Nec preſbyteri qui ſunt in pagis, dent canonicas epiſtolas, vel ad ſolos vicinos Epiſcopos epiſtolas emittant. Chorepiſcopi autem qui ſunt irreprehenſibiles, dent pacificas.

Eiuſdem Canon X.

QVI ſunt in vicis vel pagis, vel qui dicuntur Chorepiſcopi, etiamſi Epiſcopi ordinationem manuúmve impoſitionem acceperint, viſum eſt ſanctæ ſynodo, vt ſuum modum ſciant, & ſibi ſubiectas Eccleſias adminiſtrent, earúmque cura & ſollicitudine gerenda contenti ſint: conſtituant autem lectores, hypodiacо-

nos, & exorciſtas, & eorum promotionem ſufficere exiſtiment, nec preſbyterum, nec diaconum ordinare audeant, abſque vrbis Epiſcopo, cui ſubiicitur ipſe & regio. Si quis autem ea quæ definita ſunt, tranſgredi audeat, ipſe quoque deponatur ab eo honore quem habet: fiat autem Chorepiſcopus ab Epiſcopo ciuitatis cui ſubiicitur.

διακόνους καὶ ἐφορκιστάς, καὶ τῇ τούτων ἀρχεῖσθαι παραγωγῇ· μήτε δὲ πρεσβύτερον, μήτε δὲ διάκονον χειροτονεῖν τολμᾶν δίχα τοῦ ἐν τῇ πόλει ἐπισκόπου, ᾧ ὑποκειται αὐτός τε καὶ ἡ χώρα. Εἰ δὲ τολμήσειέ τις παραβαίνειν τὰ ὁρισθέντα, καθαιρεῖσθαι αὐτὸν καὶ ἧς μετέχει τιμῆς. χωρεπίσκοπον δὲ γίνεσθαι ὑπὸ τοῦ ἐπισκόπου τῆς πόλεως ᾗ ὑποκειται.

TITVLVS XXII.

Oportere presbyteros atque omnes qui ſunt in clero Epiſcopis ſuis ſubiici, ac nihil præter ipſorum ſententiam obire, neque conuenticula aut molitiones contra ipſos agitare.

ΤΙΤΛΟΣ ΚΒ'.

Περὶ τοῦ δεῖν τοὺς πρεσβυτέρους καὶ πάντας τοὺς ἐν τῷ κλήρῳ τοῖς ἐπισκόποις αὐτῶν ὑποτάσσεσθαι, καὶ μηδὲν παρὰ γνώμην αὐτῶν ἐπιτελεῖν, μήτε φρατρίας καθ' αὐτῶν, ἢ κατασκευὰς ἀπεργάζεσθαι.

Sanctorum Apoſtolorum Canon XXXIX.

RESBYTERI & diaconi, ſine ſententia Epiſcopi nihil proficiant: ipſe enim eſt, cuius fidei populus eſt creditus, & à quo pro animabus ratio exigetur.

Τῶν ἁγίων Ἀποστόλων κανὼν λθ'.

Οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι ἄνευ τοῦ ἐπισκόπου μηδὲν ἐπιτελείτωσαν. αὐτὸς γάρ ἐστιν ὁ ἐμπεπιστευμένος τὸν λαὸν τοῦ κυρίου, καὶ ὑπὲρ τῶν ψυχῶν αὐτῶν λόγον ἀπαιτηθησόμενος.

Sanctorum Apoſtolorum Canon LV.

SI quis clericus Epiſcopum contumeliâ affecerit, deponatur: principi enim populi tui non maledices.

Τῶν ἁγίων Ἀποστόλων κανὼν νε'.

Εἴ τις κληρικὸς ὑβρίσῃ τὸν ἐπίσκοπον, καθαιρείσθω. ἄρχοντα γὰρ τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.

Sanctorum Apoſtolorum Canon XXXI.

SI quis preſbyter, contempto proprio Epiſcopo, ſeorſum collectas egerit, & altare alterum fixerit, Epiſcopo ſuo in religione ac iuſtitia nulla in re à ſe condemnato, deponatur vt ambitioſus: eſt enim tyrannus. Similiter & reliqui clerici, & quotquot ei acceſſerunt. Laïci autem ſegregentur. eáque poſt vnam alteramque ac tertiam Epiſcopi admonitionem fiant.

Τῶν ἁγίων Ἀποστόλων κανὼν λα'.

Εἴ τις πρεσβύτερος καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου χωρὶς συναγάγῃ, καὶ θυσιαστήριον ἕτερον πήξῃ, μηδὲν κατεγνωκὼς τοῦ ἐπισκόπου ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ, καθαιρείσθω, ὡς φίλαρχος· τύραννος γάρ ἐστι. καὶ οἱ λοιποὶ κληρικοί, ὅσοι αὐτῷ προσῆνται. οἱ δὲ λαϊκοὶ ἀφορίζεσθωσαν. τοῦτο δὲ μίαν, ἢ δευτέραν, ἢ τρίτην τοῦ ἐπισκόπου παράκλησιν γινέσθω.

Antiocheni Concilij Canon V.

SI quis preſbyter, vel diaconus proprio contempto Epiſcopo, ab Eccleſia ſeipſum ſegregauerit, & priuatim congregationem fecerit, & altare erexerit, & Epiſcopo ac-

Τῆς ἐν Ἀντιοχείᾳ κανὼν ε'.

Εἴ τις πρεσβύτερος ἢ διάκονος καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου ἀφώρισεν ἑαυτὸν τῆς ἐκκλησίας, καὶ ἰδίαν συναγαγὼν, καὶ θυσιαστήριον ἔστησε, καὶ τοῦ ἐπισκόπου πρεσ-

καλυμένων ἀπειθοίη, καὶ μὴ βούλοιτο αὐτῷ πείθεσθαι, μηδὲ ὑπακούειν πρῶτον καὶ δεύτερον καλοῦντι, τοῦτον καθαιρεῖσθαι πάντελῶς, καὶ μηκέτι θεραπείας τυγχάνειν, μήτε δευτέραν λαμβάνειν τῆς ἑαυτοῦ τιμῆς. εἰ δὲ παραμένοι θορυβῶν καὶ ἀνατρέπων τὴν ἐκκλησιάν διὰ τῆς ἔξωθεν ἐξουσίας, ὡς σωφρονῆσαι αὐτὸν ἐπιτρέπεσθαι.

Ordinatio Canonum Ecclesiasticorum.

CLERICI ptochotrophiorum, monasteriorum, & templorum Martyrum, sub potestate Episcoporum, qui sunt in vnaquaque ciuitate, ex sanctorum Patrum traditione permaneant, & non per arrogantiam se à proprio Episcopo, imperium eius detrectantes subducant. Qui hanc autem constitutionem quocunque modo euertere ausi fuerint, nec suo Episcopo subiiciuntur; si sint quidem clerici, canonum pœnis subiiciantur: si autem monachi, vel laïci, sint excommunicati.

Τῆς ἐν Καλχηδόνι κανὼν ιη'.

Τὸ τῆς συνωμοσίας καὶ φατρείας ἔγκλημα καὶ παρὰ τοῖς ἔξω νόμων πάντη κεκώλυται, πολλῷ δὴ μᾶλλον ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ τοῦτο γίνεσθαι ἀπαγορεύειν πρέπει. Εἴ τινες οὖν κληρικοὶ ἢ μοναζοντες εὑρεθεῖεν ἢ συνομνύμενοι, ἢ φατριάζοντες, ἢ κατασκευὰς τυρβάζοντες ἐπισκόπους ἢ συγκλητικοῖς, ἢ συμμοναζοῦσιν, ἐκπίπτέτωσαν πάντη τοῦ οἰκείου βαθμοῦ.

Calchedonenſis Canon VIII.

CONIVRATIONIS vel ſodalitatis crimen ab externis etiam legibus eſt omnino prohibitum: multò magis hoc autem in Dei Eccleſia fieri prohibere oportet. Si qui ergo clerici vel monachi inuenti fuerint, vel coniurantes, vel ſodalitates facientes, vel inſidias ſtruentes ac molientes aduerſus Epiſcopos ac clericos, proprio gradu omnino excidant.

Τῆς ἐν Λαοδικείᾳ κανὼν νς'.

ΟΤΙ οὐ δεῖ πρεσβύτερον πρὸ τῆς εἰσόδου τοῦ ἐπισκόπου εἰσιέναι καὶ καθίζεσθαι ἐν τῷ βήματι, ἀλλὰ μετὰ τοῦ ἐπισκόπου εἰσιέναι· πλὴν εἰ μὴ αἰωμαλοίη ἢ ἀποδημοίη ὁ ἐπίσκοπος.

Laodicenſi Canon LVI.

QVOD non oporteat preſbyterum ante Epiſcopi introitum ſacrum tribunal ingredi & ſedere in tribunali, ſed cum Epiſcopo ingredi, præterquam ſi Epiſcopus infirmitate detineatur, vel profectus ſit peregrè.

ΤΙΤΛΟΣ ΚΓ'.

Περὶ τοῦ μὴ δεῖν διακόνους πρὸ τῶν ἐπισκόπων ἅπτεσθαι τῆς εὐχαριστίας· μήτε ὑπὸ πρεσβυτέροις ἐπιδίδόναι κοινωνίαν, μήτε μὴν ἐπὶ

TITVLVS XXIII.

Non oportere diaconos ante Epiſcopos Euchariſtiam attingere, neque presbyteris communionem impertire, neque inter presbyte-

ros ſedere, niſi ab iis permiſſum ſit : ipſos verò equales ex ſubiectis honorem habere.

πρεσβυτέρων, εἰ μὴ παρ' αὐτῶν ἐπιτραπῇ καθέζεσθαι· καὶ αὐτοὺς ἔχειν τιμὴν ἴσην ἐν τῷ ὑποκειμένων τιμῇ.

Niceni Concilij Canon XVIII.

Τῆς ἐν Νικαίᾳ κανὼν ιη'.

PERVENIT ad ſanctam ſynodum, quòd in nonnullis locis, & ciuitatibus diaconi dant preſbyteris Euchariſtiam, quod neque Canon, neque conſuetudo tradidit, vt qui offerendi poteſtatem non habent, iis qui offerunt, dent corpus Chriſti. Iam verò illud etiam cognitum eſt, quòd quidam ex diaconis etiam ante Epiſcopos Euchariſtiam attingunt. Hæc ergo omnia auferantur, & diaconi intra ſuas menſuras permaneant, ſcientes quòd ſunt quidem Epiſcopi miniſtri, preſbyteris verò minores. Accipiant autem ſuo ordine Euchariſtiam poſt preſbyteros, eis præbente Epiſcopo, vel preſbytero: ſed nec in medio quidem preſbyterorum liceat diaconis ſedere. Id fit enim præter canonem & ordinem. Si quis autem non vult obedire, etiam poſt has conſtitutiones, à diaconatu deſiſtat.

ΗΛΘΕΝ εἰς τὴν ἁγίαν καὶ μεγάλην σύνοδον, ὅτι ἔν τισι τόποις καὶ πόλεσι τοῖς πρεσβυτέροις τὴν εὐχαριστίαν οἱ διάκονοι διδόασιν· ὅπερ οὔτε ὁ κανὼν, οὔτε ἡ συνήθεια παρέδωκε, τοῖς ἐξουσίαν μὴ ἔχουσι προσφέρειν, τοῦτον τοῖς προσφέρουσι δίδοναι τὸ σῶμα τοῦ Χριστοῦ. καὶ ἐκεῖνο δὲ ἐγνωρίσθη, ὅτι ἤδη τινὲς τῶν διακόνων καὶ πρὸ τῶν ἐπισκόπων τῆς εὐχαριστίας ἅπτονται. Ταῦτα οὖν πάντα περιαιρείσθω, καὶ ἐμμενέτωσαν οἱ διάκονοι ἐν τοῖς οἰκείοις μέτροις, εἰδότες ὅτι τοῦ μὲν ἐπισκόπου ὑπηρέται εἰσὶ, τῶν δὲ πρεσβυτέρων ἧττον τυγχάνουσι. λαμβανέτωσαν δὲ κατὰ τάξιν τὴν εὐχαριστίαν μετὰ τοὺς πρεσβυτέρους, ἢ τοῦ ἐπισκόπου διδόντος αὐτοῖς, ἢ τοῦ πρεσβυτέρου· ἀλλὰ μὴν καθῆσθαι ἐν μέσῳ τῶν πρεσβυτέρων ἐξέστω τοῖς διακόνοις. παρὰ κανόνα γὰρ καὶ τὴν τάξιν ἐστὶ τὸ γινόμενον· εἰ δέ τις μὴ θέλοι πειθαρχεῖν καὶ μετὰ ταῦτα τοὺς ὅρους, παυέσθω τῆς διακονίας.

Laodiceni Canon XX.

Τῆς ἐν Λαοδικείᾳ κανὼν κ'.

QVOD non oporteat diaconum coram preſbytero ſedere: ſed iuſſu preſbyteri ſedere: Similiter autem & diaconis honor habeatur à miniſtris & omnibus clericis.

ΟΤΙ οὐ δεῖ διάκονον ἐνώπιον τοῦ πρεσβυτέρου καθέζεσθαι· ἀλλὰ μετὰ κελεύσεως τοῦ πρεσβυτέρου καθέζεσθαι· ὁμοίως δὲ ἔχειν τιμὴν καὶ τοὺς διακόνους ὑπὸ τῶν ὑπηρετῶν καὶ πάντων τῶν κληρικῶν.

Sanctorum Apoſtolorum Canon LVI.

Τῶν ἁγίων Ἀποστόλων κανὼν νς'.

SI quis clericus preſbyterum vel diaconum iniuriâ affecerit, ſegregetur.

ΕΙ τις κληρικὸς ὑβρίσῃ πρεσβύτερον, ἢ διάκονον, ἀφοριζέσθω.

Neocæſarienſis Canon XV.

Τῆς ἐν Νεοκαισαρείᾳ κανὼν ιε'.

DIACONI ſeptem eſſe debent, ex canone, etiamſi ſit magna ciuitas: eius autem rei fidem faciet liber Actorum.

ΔΙΑΚΟΝΟΙ ἑπτὰ ὀφείλουσιν εἶναι κατὰ τὸν κανόνα, κἂν πόλις μεγάλη ᾖ ἡ πόλις. πιστωθήσεται δὲ ἀπὸ τῆς βίβλου τῶν πράξεων.

ΤΙΤΛΟΣ

ΤΙΤΛΟΣ ΚΔ'.

Περὶ χροτονίας γυναικῶν, καὶ τῆς μὴ δεῖν χροτονεῖσθαι πρεσβυτίδας, μήτε εἰς θυσιαστήριον εἰσιέναι γυναῖκας.

Τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν ια'.

ΠΕΡΙ τοῦ μὴ δεῖν τὰς λεγομένας πρεσβυτίδας, ἢ τὰς προκαθημένας, ἐν ἐκκλησίᾳ καθίσαι.

Τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν μδ'.

ΟΤΙ οὐ δεῖ γυναῖκας ἐν τῷ θυσιαστηρίῳ εἰσιέναι.

Τῆς ἐν Καλχηδόνι συνόδου κανὼν ιε'.

ΔΙΑΚΟΝΟΝ μὴ χειροτονεῖν γυναῖκα πρὸ ἐτῶν τεσσαράκοντα, καὶ ταύτην μετ' ἀκριβοῦς δοκιμασίας· εἰ δέ γε δεξαμένη τὴν χειροτονίαν, καὶ χρόνον τινὰ συμμείνασα τῇ λειτουργίᾳ, ἑαυτὴν ὁτῳδὴ γάμῳ, ὑβρίσασα τὴν τοῦ θεοῦ χάριν, τοιαύτη ἀναθεματιζέσθω μετὰ τοῦ αὐτῆ συναφθέντος.

Τοῦ ἁγίου Βασιλείου κανὼν κδ'.

ΧΗΡΑΝ πρὸ κατελεγέσθω εἰς τὸν ἀριθμὸν τῶν χηρῶν, τουτέστι πρὸ ἀφιερωμένου, ὑπὸ τῆς ἐκκλησίας, ἔκρινεν ὁ Ἀπόστολος Παῦλος χαμευνοῦντι προσβλέπ. ἀνδρὶ ὃ χηρεύσαντι οὐδεὶς ὑπέκειται νόμος, ἀλλ' ἐκτὸς τοῦ τοιούτου ὁ τοῦ δισγάμου ὑπεύθυνος. ἡ μέντοι χήρα ἑξηκοντούτις γεγενῆσα, ἐὰν βούληται πάλιν ἀνδρὶ συνοικεῖν, οὐ κατοκνήσει τῆς τοῦ ἀγαθοῦ κοινωνίας, ἕως ἂν τῷ πάθους τῆς ἀκαθαρσίας παύσηται. ἐὰν μέντοι πρὸ ἑξήκοντα ἐτῶν ἀριθμήσωμεν, ἡμέτερον ὁ ἔγκλημα, οὐ τῆς γυναικός.

Τοῦ ἁγίου Βασιλείου κανὼν μδ'.

Η δεξάμενος ἢ δῷ βίῳ συμπορευθεῖσα, δεκτὴ ὅτιν εἰς τὴν μετάνοιαν· εἰς δὲ τὴν προσφορὰν δεχθήσεται ἐβδόμῳ ἔτει, δηλονότι ἐν ἁγνείᾳ

TITVLVS XXIV.

De ordinatione mulierum, & iis quæ post ordinationem viris copulantur: & quòd non oporteat vetulas ordinari, neque sanctuarium ingredi mulieres.

Concilij Laodiceni Canon XI.

NON oportere eas quæ dicuntur seniores viduæ, vel præsidentes, in Ecclesia constitui.

Laodicæni Canon XLIV.

QVOD non oporteat ingredi mulieres ad altare.

Calchedonensis Canon XV.

DIACONISSAM non esse ordinandam mulierem ante annum quadragesimum, & eam cum accurata examinatione. Si autem postquam ordinatione susceptâ in ministerio aliquo tempore permansit, seipsam matrimonio tradiderit, Dei gratiæ iniuriam faciens, ea vnà cum illo qui ei coniunctus est, anathematizetur.

Sancti Basilij Canon XXIV.

VIDVAM quæ in viduarum numerum relata est, hoc est quæ ab Ecclesia in diaconatum susceptа est, censuit Apostolus nubentem esse despiciendam: viro autem viduo nulla est lex imposita, sed digamorum eis pœna sufficit. Porro vidua sexaginta annos nata, si rursus cum viro habitare voluerit boni communione non dignabitur, donec ab impuritatis perturbatione cessauerit. Sed si ante sexaginta annos eam in numerum retulerimus, nostra est, non mulieris culpa.

Eiusdem sancti Basilij Can. XLIV.

DIACONISSA, quæ vnà cum Græco fornicata est, ad pœnitentiam est admittenda, ad oblationem autem septimo anno admittetur, scilicet si in castitate vitam

agat. Græcus autem qui poſt fidem rurſus ad ſacrilegium accedit, ad vomitum reuertitur. Nos verò diaconiſſæ corpus vt conſecratum, eſſe in vſu carnali non ampliùs permittimus.

ζῶσα· ὁ δὲ μετὰ τὴν πίστιν ἕλλην πάλιν τῇ ἱερωσύλῃ προσιὼν, ὅτι τὸν ἴδιον ἔμετον ὑποστρέφει. ἡμεῖς δὲ τῆς Δεσπότου τὸ σῶμα ὡς καθιερωμένον οὐκέτι ὑποτιθέμεθα εἰς χρῆσιν σαρκικήν.

TITVLVS XXV.

De ordinationis modo, déque iis qui ordinari non debent, & de iis qui raptim ordinantur.

Concilij Calchedonenſis Canon VI.

NVLLVM abſolutè ordinari, nec preſbyterum, nec diaconum, nec omnino aliquem eorum qui ſunt in ordine Eccleſiaſtico, niſi ſpecialiter in Eccleſia ciuitatis, vel pagi, vel martyrio, vel monaſterio is qui ordinatur, deſignetur. Eos autem qui abſolutè ordinantur, decreuit ſancta ſynodus irritam ac inualidam habere eiuſmodi ordinationem, & manuum impoſitionem, & nuſquam exercere ac operari poſſe, ad eius qui ordinauit iniuriam.

ΤΙΤΛΟΣ ΚΕ'.

Περὶ τόπου χειροτονίας, καὶ περὶ τῶν χειροτονεῖσθαι μὴ ὀφειλόντων, καὶ περὶ τῶν ἐν συναρπαγῇ χειροτονουμένων.

Τῆς ἐν Καλχηδόνι συνόδου κανὼν ς'.

ΜΗΔΕΝΑ ἁπολελυμένως χειροτονεῖσθαι, μὴ πρεσβύτερον, μὴ διάκονον, μηδὲ ὅλως τινὰ τῶν ἐν τῷ ἐκκλησιαστικῷ τάγματι· εἰ μὴ ἰδικῶς ἐν ἐκκλησίᾳ πόλεως, ἢ κώμης, ἢ μαρτυρίῳ, ἢ μοναστηρίῳ ὁ χειροτονούμενος, ὁρισθήσοιτο. Τοὺς δὲ ἁπολύτως χειροτονουμένους ὥρισεν ἡ ἁγία σύνοδος, ἄκυρον ἔχειν τὴν τοιαύτην χειροτονίαν, ἤτοι χειροθεσίαν, καὶ μηδαμοῦ δύνασθαι ἐνεργεῖν ἐφ' ὕβρει τοῦ χειροτονήσαντος.

Neocæſarienſis Canon XI.

PRESBYTER ante triginta annos non ordinetur, etiamſi ſit valde dignus: ſed reſeruetur. Dominus enim Ieſus Chriſtus in trigeſimo anno baptizatus eſt, & cœpit docere.

Τῆς ἐν Νεοκαισαρείᾳ κανὼν ια'.

ΠΡΕΣΒΥΤΕΡΟΣ πρὸ τριάκοντα ἐτῶν μὴ χειροτονείσθω, ἐὰν καὶ πάνυ ᾖ ἄξιος· ἀλλὰ τηρείσθω. ὁ γὰρ κύριος ἐν τριακοστῷ ἔτει ἐβαπτίσθη, καὶ ἤρξατο διδάσκειν.

Sanctorum Apoſtolorum Canon XVII.

QVI poſt baptiſmum duobus coniugiis fuerit implicitus, vel habuerit concubinam, non poteſt eſſe Epiſcopus, vel preſbyter, vel diaconus, vel omnino ex numero ſacerdotali.

Τῶν ἁγίων Ἀποστόλων κανὼν ιζ'.

ΟΣΟΙ γάμοις συμπλακεῖς μετὰ τὸ βάπτισμα, ἢ παλλακὴν κτησάμενος, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τῶν καταλόγου τῶν ἱερατικοῦ.

Sanctorum Apoſtolorum Canon XVIII.

QVI viduam accepit, vel eiectam, vel meretricem, vel ſeruam, vel mimam ſeu ſcenicam, non poteſt eſſe preſbyter, vel Epiſcopus, vel diaconus, vel omnino ex numero ſacerdotali.

Τῶν ἁγίων Ἀποστόλων κανὼν ιη'.

ΟΣΟΙ χήραν λαμβάνουσι, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, ἢ οἰκέτην, ἢ τὴν ἐπὶ σκηνῆς, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τῶν καταλόγου τῶν ἱερατικοῦ.

Τῶν ἁγίων Ἀποστόλων κανὼν ιθ'.

Ὁ ἀδελφὰς ἀγαγόμενος δύο, ἢ ἀδελφιδοῦν, οὐ δυνατὸν εἰς κληρικός.

Τῶν ἁγίων Ἀποστόλων κανὼν ξα'.

Εἴ τις κατηγορία γένηται κατὰ πιστοῦ πορνείας, ἢ μοιχείας, ἢ ἄλλης τινὸς ἀπηγορευμένης πράξεως, καὶ ἐλεγχθῇ, εἰς κλῆρον μὴ προσαγέσθω.

Τῶν ἁγίων Ἀποστόλων κανὼν ξη'.

Ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, δευτέραν χειροτονίαν ἐὰν δέξηται παρά τινος, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας αὐτόν, εἰ μὴ συμφήνῃ ὅτι παρὰ αἱρετικῶν ἔλαβε τὴν χειροτονίαν. περὶ γὰρ τοιούτων χειροτονηθέντας οὐδὲ κληρικοὺς εἶναι δυνατόν, οὔτε πιστούς.

Τῶν ἁγίων Ἀποστόλων κανὼν π'.

Εἴ τις δαίμονα ἔχει, κληρικὸς μὴ γινέσθω, μηδὲ μετὰ τῶν πιστῶν συνευχέσθω. καθαιρεθεὶς δέ, προσευχέσθω, καὶ ἐὰν ᾖ ἄξιος, γινέσθω.

Τῆς ἐν Νικαίᾳ κανὼν θ'.

Εἴ τινες ἀνεξετάστως προήχθησαν πρεσβύτεροι, εἶτα ἀναχρινόμενοι ὡμολόγησαν τὰ ἡμαρτημένα αὐτοῖς, καὶ ὁμολογησάντων αὐτῶν τοῖς κανόνα κινοῦντες οἱ ἀδέκτοι τοῖς τοιούτοις χεῖρας ἐπιτιθέασι, τούτους ὁ κανὼν οὐ προσίεται. Ὃ γὰρ ἀνεπίληπτον ἐπιδείκνυται ἡ καθολικὴ ἐκκλησία.

Τῆς αὐτῆς κανὼν ι'.

Ὅσοι προσκλαίεσθαι τὴν ἀξιοπίστως ἐχόντων κτῆσιν ἀγνοοῦσι, ἢ καὶ προσδόντων τὴν προσκλαυσιμαῖαν, τοῦτο ὁ προσκρίνει ᾧ κανόνι ἐκκλησιαστικῷ· χωσθέντες γὰρ καθαιρεθήσονται.

Τῆς ἐν Νεοκαισαρείᾳ κανὼν θ'.

Πρεσβύτερος, ἐὰν ᾖ προημαρτηκὼς σώματι, καὶ ὁμολογήσῃ ὅτι ἥμαρτε πρὸ τῆς χειροτονίας, μὴ προσφερέτω, μενέτω δὲ ἐν τοῖς λοιποῖς, διὰ τὸν ἄλλον εὐσχημοσύνην. τὰ γὰρ πολλὰ ἁμαρτήματα φασὶν οἱ πολλοὶ καὶ τὴν χειροτονίαν ἀφιέναι. ἐὰν δὲ αὐτὸς μὴ

Sanctorum Apostolorum Canon XIX.

QVI duas sorores duxit, vel fratris sororisve filiam, non potest esse clericus.

Sanctorum Apostolorum Canon LXI.

SI aduersus fidelem aliqua accusatio intendatur, vel fornicationis, vel adulterij, vel alicuius prohibitæ actionis, & conuictus fuerit, ad clerum ne prouehatur.

Sanctorum Apostolorum Canon LXVIII.

SI quis Episcopus, vel presbyter, vel diaconus secundam ordinationem ab alio susceperit, deponatur & ipse, & qui ordinauit, nisi vtique constiterit quòd ab hæreticis ordinationem habeat. Qui enim ab eis baptizati, vel ordinati sunt, vt fideles vel clerici sint, fieri non potest.

Sanctorum Apostolorum Canon LXXX.

SI quis dæmonem habeat ne fiat clericus: sed neque cum fidelibus precetur. Purgatus autem recipiatur, & si sit dignus, fiat.

Concilij Nicæni Canon IX.

SI qui citra examinationem promoti sunt presbyteri, vel examinati sua peccata confessi sunt, eisque confessis, præter canonem moti homines manus imposuerunt, eos canon non admittit. Quod est enim irreprehensibile defendit Ecclesia Catholica.

Eiusdem Concilij Canon X.

QVICVMQVE ex iis qui lapsi sunt, vel per ignorantiam, vel scientibus iis qui promouerunt, ordinati sunt, hoc Ecclesiastico canoni non præiudicat: ij enim cogniti deponuntur.

Neocæsariensis Canon IX.

SI presbyter, qui corpore priùs peccauerat, promotus fuerit, & si ante ordinationem peccasse confessus fuerit, ne offerat, manens in aliis, propter aliud eius bonæ vitæ studium. Reliqua enim peccata dicunt multi manuum impositione tolli. Quòd si ipse non

confiteatur, apertè autem convinci non potuerit, potestatis suæ iudicio relinquatur.

Eiusdem Concilij Canon X.

SIMILITER & diaconus, si in eidem peccatum inciderit, ministri ordinem habeat.

TITVLVS XXVI.

Cantores, lectores, ministros & exorcistas, neque dominica vasa attingere, neque orarium in sacro officio gestare. Item quòd cantores tantum & lectores potestatem habeant in Domino vxorem ducendi, non tamen cum hæreticis matrimonia contrahendi.

Laodicenī Concilij Canon XXI.

QVOD non oporteat ministros libertatem habere intrandi in diaconicum, & sacra vasa tangendi.

Eiusdem Canon XXII.

QVOD non oporteat ministrum ferre orarium, neque ostia relinquere.

Eiusdem Canon XXIII.

QVOD non oporteat lectores aut cantores orarium ferre, & sic legere vel canere.

Eiusdem Canon XXV.

QVOD non oporteat ministros panem dare, vel calicem benedicere.

Eiusdem Canon XXVI.

QVOD eos adiutare non oporteat qui ab Episcopis promoti non sunt, neque in Ecclesiis, neque in ædibus.

ὁμολογήσῃ, ἐλεγχθῆναι ὃ φανερὸς μὴ δυνηθῇ, ἐπ' αὐτῷ σκείνῳ ποιεῖσθαι τὴν ἐξουσίαν.

Τῆς ἐν Νεοκαισαρείᾳ κανὼν ι'.

ΟΜΟΙΩΣ ὁ διάκονος ἐὰν ἐφ' ἁμαρτήματι πεσεῖται, τὴν τοῦ ὑπηρέτου τάξιν ἐχέτω.

ΤΙΤΛΟΣ Κϛ'.

Περὶ τοῦ ψάλτας, καὶ ἀναγνώστας, καὶ θυρωρούς, καὶ ἐξορκιστὰς, μήτε διακονικῶν ἐφάπτεσθαι σκευῶν, μήτε ὠμοφόριον ἐν λειτουργίᾳ φορεῖν. καὶ περὶ τοῦ ψάλτας μόνον καὶ ἀναγνώστας ἔχειν ἐξουσίαν ἐν κυρίῳ γαμεῖν, μὴ μὴν τοῖς αἱρετικοῖς ἐπιγαμίας ποιεῖν.

Τῆς ἐν Λαοδικείᾳ κανὼν κα'.

ΟΤΙ οὐ δεῖ ὑπηρέτας ἄδειαν ἔχειν εἰσιέναι εἰς τὸ διακονικὸν, καὶ ἅπτεσθαι διακονικῶν σκευῶν.

Τῆς αὐτῆς κανὼν κβ'.

ΟΤΙ οὐ δεῖ ὑπηρέτην ὠμοφόριον φορεῖν, οὔτε τὰς θύρας καταλιμπάνειν.

Τῆς αὐτῆς κανὼν κγ'.

ΟΤΙ οὐ δεῖ ἀναγνώστας ἢ ψάλτας ὠμοφόριον φορεῖν, καὶ οὕτως ἀναγινώσκειν ἢ ψάλλειν.

Τῆς αὐτῆς κανὼν κε'.

ΟΤΙ οὐ δεῖ ὑπηρέτας ἄρτον διδόναι, οὔτε ποτήριον εὐλογεῖν.

Τῆς αὐτῆς κανὼν κϛ'.

ΟΤΙ οὐ δεῖ ἐφορκίζειν τοὺς μὴ προαχθέντας ὑποδιακόνους, μήτε ἐν ταῖς ἐκκλησίαις, μήτε ἐν ταῖς οἰκίαις.

Τῆς αὐτῆς κανὼν μγ'.

ΟΤΙ οὐ δεῖ ὑποπρέσβεις καὶ μὴ βεβαίως καταλιμπάνειν τὰς θύρας.

Τῆς αὐτῆς κανὼν ιε'.

ΠΕΡΙ τοῦ μὴ δεῖν πλείω τῶν κανονικῶν ψαλτῶν τοῦ ἐπὶ τοῦ ἀμβωνα ἀναβαινόντων, καὶ ἀπὸ διφθέρας ἀλλόντων, ἑτέρους πινὰς ψάλλειν ἐν ἐκκλησίᾳ.

Τῶν ἁγίων Ἀποστόλων κανὼν κς'.

ΤΩΝ εἰς κλῆρον προελθόντων ἀγάμους κελεύομεν βουλομένους γαμεῖν ἀναγνώστας καὶ ψάλτας μόνον.

Τῆς ἐν Καλχηδόνι κανὼν ιδ'.

ΕΠΕΙΔΗ ἔν τισιν ἐπαρχίαις συγκεχώρηται τοῖς ἀναγνώσταις καὶ ψάλταις γαμεῖν, ὥρισεν ἡ ἁγία σύνοδος, μὴ ἐξεῖναί τινι αὐτῶν ἑτεροδόξου γυναῖκα λαμβάνειν· τοὺς δὲ ἤδη ἐκ τοιούτων γάμων παιδοποιησαμένους, εἰ μὲν ἔφθασαν βαπτίσαι τὰ ἐξ ἑαυτῶν τεκνία καὶ τοῖς αἱρετικοῖς, προσοφείλειν αὐτὰ τῇ κανονικῇ τῆς καθολικῆς ἐκκλησίας· μὴ βαπτίσαντας δὲ μὴ δύνασθαι ἐπὶ βαπτίζειν αὐτὰ καὶ τοῖς αἱρετικοῖς. μήτε μὴν συναπτέιν τοὺς γάμους αἱρετικῷ, ἢ Ἰουδαίῳ, ἢ ἕλλησι, εἰ μὴ ἄρα ἐπαγγείλοιτο μεταπλάσεσθαι εἰς τὸ ὀρθόδοξον πίστιν τὸ συναπτόμενον τοῦ σώματος τῷ ὀρθοδόξῳ. εἰ δέ τις τοῦτο τὸ ὅρον παραβαίη τῆς ἁγίας συνόδου, κανονικῷ ὑποκείσθω ἐπιτιμίῳ.

Τῆς ἐν Λαοδικείᾳ κανὼν ι'.

ΠΕΡΙ τοῦ μὴ δεῖν τοὺς τῆς ἐκκλησίας* διαφόρους τοὺς γάμους κτίνασθαι συναπτέιν τὰ ἑαυτῶν τέκνα αἱρετικοῖς.

*al. διαφόρως

Τῆς αὐτῆς κανὼν λα'.

ΟΤΙ οὐ δεῖ τοὺς πάσας αἱρετικοὺς ἐπιγαμίας ποιεῖν, ἢ δίδοναι υἱοὺς ἢ θυγατέρας, ἀλλὰ μᾶλλον λαμβάνειν, εἴγε ἐπαγγέλοιντο Χριστιανοὶ γενέσθαι.

Eiusdem Canon XLIII.

QVOD non oporteat ministros vel breui tempore fores relinquere.

Eiusdem Canon XV.

QVOD non oporteat, præter canonicos cantores qui sugestum ascendunt, & de codice canunt, alios canere in Ecclesia.

Sanctorum Apostolorum Canon XXVI.

EX iis qui non ducta vxore ad clerum promoti sunt, iubemus, si velint, vxorem ducere lectores & cantores solos.

Calchedonensis Canon XIV.

QVONIAM in nonnullis prouinciis concessum est lectoribus & cantoribus vxores ducere, decreuit sancta synodus nulli eorum licere diuersæ à recta opinionis vxorem ducere, eos autem qui ex eiusmodi matrimonio liberos susceperunt, si eos quidem baptizare apud hæreticos præuenerint, ad Catholicæ Ecclesiæ communionem adducere, si autem non baptizauerint, non posse eos apud hæreticos baptizare. Sed neque hæretico, vel pagano, vel Iudæo, matrimonio coniungere, nisi vtique persona quæ orthodoxæ coniungitur, se ad orthodoxam fidem conuertendam spondeat. Si quis autem hoc sanctæ synodi decretum transgressus fuerit, canonicis pœnis subiiciatur.

Laodiceni Canon X.

QVOD non oporteat eos qui sunt Ecclesiæ, indiscriminatim suos filios hæreticis matrimonio coniungere.

Eiusdem Canon XXXI.

QVOD non oporteat cum omnibus hæreticis matrimonium contrahere, vel dare filios, aut filias: sed magis accipere, si se Christianos futuros profiteantur.

Sancti Basilij Canon LIV.

LECTOR, si cum sua sponsa ante matrimonium commercium habuerit, postquam anno cessauerit, ad legendum recipietur, manens non vlteriùs promouendus: quòd si absque desponsatione furtim coierit, cessabit à ministerio. Idem & minister.

Τοῦ ἁγίου Βασιλείου κανὼν νδ'.

ΑΝΑΓΝΩΣΤΗΣ εἰ τὴν ἑαυτοῦ μνηστὴν πρὸ γάμου συναλλάξῃ, ἑαυτὸν ἀργήσας, εἰς ὃ ἀναγνώσηται διορθώσεται, μᾶλλον ἀποσχόμενος· κλεψιγαμήσας δὲ αὖθις μυηστείας, παυθήσεται τῆς ὑπηρεσίας· ὁ δὲ αὖθις καὶ ὑπηρέτης.

TITVLVS XXVII.

Non oportere sacerdotem vxorem suam eiicere pietatis prætextu: neque verò cælibem post ordinationem vxorem superducere, præterquam si dum ordinaretur protestatus sit sibi opus esse ad nuptias accedere.

Sanctorum Apostolorum Canon V.

EPISCOPVS, vel presbyter, vel diaconus vxorem suam ne eiiciat religionis prætextu: sin autem eiecerit, segregetur: & si perseueret, deponatur.

Concilij Neocæsariensis Canon I.

PRESBYTER si vxorem duxerit, ordine suo moueatur. Si autem fornicatus fuerit, vel adulterium commiserit, penitus extrudatur, & ad pœnitentiam deducatur.

Ancyrani Canon X.

QVICVMQVE diaconi constituti, in ipsa constitutione testificati sunt, & dixerunt oportere se vxores ducere, cùm non possint sic manere, ij si vxorem postea duxerint, sint in ministerio, eo quòd hoc sit illis ab Episcopo concessum. Si qui autem hoc silentio præterito, & in ordinatione vt ita manerent susceptí sunt, postea autem ad matrimonium venerunt, ij à diaconatu cessent.

ΤΙΤΛΟΣ ΚΖ'.

Περὶ τοῦ μὴ δεῖν ἱερέα πρόφασιν εὐλαβείας γυναῖκα ἐκβάλλειν· μήτε δὲ μὴ χειροτονηθέντα τὸν ἄγαμον ἐπιγαμεῖν, πλὴν εἰ μὴ χειροτονούμενος δεῖν αὐτὸν πρὸς γάμον ἐλθεῖν προμαρτύρηται.

Τῶν ἁγίων ἀποστόλων κανὼν ε'.

ΕΠΙΣΚΟΠΟΣ, ἢ πρεσβύτερος, ἢ διάκονος τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας. ἐὰν δὲ ἐκβάλῃ, ἀφοριζέσθω· ἐπιμένων δὲ καθαιρείσθω.

Τῆς ἐν Νεοκαισαρείᾳ κανὼν α'.

ΠΡΕΣΒΥΤΕΡΟΣ ἐὰν γήμῃ, τῆς τάξεως αὐτὸν καταπίπτειν. ἐὰν δὲ πορνεύσῃ ἢ μοιχεύσῃ, ἐξωθεῖσθαι αὐτὸν τέλεον, καὶ ἄγεσθαι αὐτὸν εἰς μετάνοιαν.

Τῆς ἐν Ἀγκύρᾳ κανὼν ι'.

ΔΙΑΚΟΝΟΙ ὅσοι καθίσαντο, πρὸ αὐτοῦ τοῦ καθίσαι εἰ ἐμαρτύρησαν καὶ ἔφασαν γαμεῖν, μὴ δυνάμενοι οὕτως μένειν, ὅτοι μετὰ ταῦτα γαμήσαντες, ἔστωσαν ἐν τῇ ὑπηρεσίᾳ· ἃ δὲ ὑπεραπέλυσαν αὐτοὺς ἀπὸ τοῦ ἐπισκόπου. τοῦτο δὲ εἴ τινες σιωπήσαντες, καὶ καταδεξάμενοι ἐν τῇ χειροτονίᾳ μένειν ὅτως, μετὰ ταῦτα ἦλθον ὅτι γάμον, πεπαῦσθαι αὐτοὺς τῆς διακονίας.

ΤΙΤΛΟΣ ΚΗ'.

Περὶ τοῦ μὴ δεῖν ἱερέα συνείσακτον ἔχειν, πλὴν τῆς ἀναγκαίας μὴ ἐμποιούντων ὑποψίαν προσώπων· μήτε εἰς δίγαμων παραγίνεσθαι γάμους, μήτε θεωρεῖν ἐν γάμοις ὀρχεῖν, μήτε ὅλως ἐν γάμοις Χριστιανοὺς.

Τῆς ἐν Νικαίᾳ κανὼν γ'.

ΑΠΗΓΟΡΕΥΣΕ καθόλου ἡ μεγάλη συνόδος, μήτε ἐπισκόπῳ, μήτε πρεσβυτέρῳ, μήτε διακόνῳ, μήτε ὅλως τῶν ἐν κλήρῳ ἑνὶ ὑπείναι * ἐπίσακτον γυναῖκα ἔχειν, πλὴν εἰ μὴ ἄρα μητέρα, ἢ ἀδελφὴν, ἢ θείαν, ἢ ἀμόνον προσώπα, ἃ τὰ τοιαῦτα παντὸς ὑποψίαν ἀποφεύγει.

* συνείσακτον

Τῆς ἐν Νεοκαισαρείᾳ κανὼν ζ.

ΠΡΕΣΒΥΤΕΡΟΣ εἰς γάμους δι-γαμούντος μὴ ἑστάτω. ἐπεὶ μετανοοῦντος αἰτοῦντος τὸν δίγαμον, πῶς ἔσται ὁ πρεσβύτερος ὁ ἀφ' ἑστιάσεως συγκαταπλεόμενος τοῖς γάμοις.

Τῆς ἐν Λαοδικείᾳ κανὼν νγ'.

ΟΤΙ οὐ δεῖ Χριστιανοὺς εἰς γάμους ἀπερχομένους βαλλίζειν, ἢ ὀρχεῖσθαι, ἀλλὰ σωφρόνως δεῖπνειν, ἢ ἀρίστᾳν, καθὼς πρέπει Χριστιανοῖς.

Τῆς αὐτῆς κανὼν νδ'.

ΟΤΙ οὐ δεῖ ἱερατικοὺς ἢ κληρικοὺς ἁπλῶς θεωρίας θεωρεῖν ἐν γάμοις, ἢ δείπνοις, ἀλλὰ πρὸ τοῦ εἰσέρχεσθαι θυμελικοὺς, ἐγείρεσθαι αὐτοὺς καὶ ἀναχωρεῖν ἐκεῖθεν.

TITVLVS XXVIII.

Non oportere ſacerdotem ſubintroductam habere, exceptis iis quæ nullam ſuſpicionem afferunt; neque ad bigamorum nuptias accedere, neque ſpectaculum in nuptiis videre, neque etiam in nuptiis Chriſtianos ſaltare.

Concilij Niceni Canon III.

VETVIT omnino magna ſynodus, ne liceat Epiſcopo, nec preſbytero, nec diacono, nec vlli penitus eorum qui ſunt in clero introductam habere mulierem, præterquam vtique matrem, vel ſororem, vel amitam, vel eas tantùm perſonas quæ omnem ſuſpicionem effugiunt.

Neocæſarienſis Canon VII.

PRESBYTER in nuptiis eius, qui duas vxores ducit, ſeu digamus efficitur, ne conuiuetur. Cùm enim requirat pœnitentiam digamus, quis erit preſbyter, qui eo quòd ſit conuiuio acceptus, nuptiis aſſentiatur.

Laodicenſi Canon LIII.

QVOD non oporteat Chriſtianos ad nuptias venientes plaudere, vel ſaltare: ſed modeſtè cœnare & prandere, vt decet Chriſtianos.

Eiuſdem Canon LIV.

QVOD non oporteat ſacerdotes, aut clericos in nuptiis, vel conuiuiis aliqua ſpectacula contemplari: ſed priuſquam ingrediantur thymelici, ſurgere & inde ſecedere.

TITVLVS XXIX.

Non oportere Episcopum, aut vno verbo clericum, vel laïcum à carnium esu & nuptiis in Domino celebrandis abhorrere, neque in eos qui his rectè vtuntur inuehi.

Sanctorum Apostolorum Canon LI.

SI quis Episcopus, vel presbyter, vel diaconus, vel omnino ex sacerdotali numero, à nuptiis & carnibus, non propter exercitationem, sed propter abominationem abstineat, oblitus quòd omnia valde bona, & quòd masculinum & femininum fecit Deus hominem; sed blasphemans calumnietur opificium: vel corrigatur, vel deponatur, & ex Ecclesia eiiciatur. Similiter & laïcus.

Eorundem Canon LIII.

SI quis Episcopus, vel presbyter, vel diaconus, in festis diebus carnem & vinum non sumit abhorrens, & non propter exercitationem, deponatur, vt qui habeat inustam conscientiam propriam, & sit multis offensionis causa.

Eorundem Canon LXIII.

SI quis Episcopus, vel presbyter, vel diaconus, vel omnino ex sacerdotali catalogo comederit carnes in sanguine animæ ipsorum, vel quid à feris captum vel morticinum, deponatur: hoc enim lex prohibuit: si autem sit laïcus, à communione excluditor.

Concilij Ancyrani Canon XIV.

QVI in clero sunt presbyteros, vel diaconos à carnibus abstinentes, visum est eas attingere, & sic, si velint, ab eis abstinere. Si autem abominentur olera quæ cum carnibus apponuntur comedere, & canoni non cedant, ab ordine cessare.

ΤΙΤΛΟΣ ΚΘ'.

Περὶ τοῦ μὴ δεῖν ἐπίσκοπον, ἢ κληρικὸν ὅλως, ἢ λαϊκὸν κρεοφαγίαν καὶ γάμων τελεῖν ἐν κυρίῳ βδελύττεσθαι, μήτε ἐπ' αὐτῶν μεταχειρίζεσθαι ὀρθῶς κατεπαίρεσθαι.

Τῶν ἁγίων Ἀποστόλων κανὼν να'.

EI τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως ἐκ τοῦ ἱερατικοῦ καταλόγου, γάμου καὶ κρεῶν, οὐ δι' ἄσκησιν, ἀλλὰ διὰ βδελυγίαν ἀπέχεται, ἐπιλανθανόμενος ὅτι πάντα καλὰ λίαν, καὶ ὅτι ἄρσεν καὶ θῆλυ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, ἀλλὰ βλασφημῶν διαβάλλει τὸν δημιουργόν, ἢ διορθούσθω, ἢ καθαιρείσθω, καὶ τοῦ ἐκκλησίας ἀποβαλλέσθω· ὡσαύτως καὶ ὁ λαϊκός.

Τῶν αὐτῶν κανὼν νγ'.

EI τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος ἐν τῇ ἡμέρᾳ τῶν ἑορτῶν οὐ μεταλαμβάνῃ κρεῶν ἢ οἴνου, βδελυσσόμενος, καὶ οὐ δι' ἄσκησιν, καθαιρείσθω, ὡς κεκακωτηριασμένος τὴν ἰδίαν συνείδησιν, καὶ ἐπ' αἴτιος σκανδάλου πολλοῖς γενόμενος.

Τῶν αὐτῶν κανὼν ξγ'.

EI τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως ἐκ τοῦ καταλόγου τοῦ ἱερατικοῦ, φάγῃ κρέα ἐν αἵματι ψυχῆς αὐτῶν, ἢ θηριάλωτον, ἢ θνησιμαῖον, καθαιρείσθω· τοῦτο γὰρ ὁ νόμος ἀπεῖπεν· εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω.

Τῆς ἐν Ἀγκύρᾳ κανὼν ιδ'.

ΤΟΥΣ ἐν κλήρῳ πρεσβυτέρους, ἢ διακόνους ὄντας, καὶ ἐπιχωμένοις κρεσὶ, ἔδοξεν ἐφάπτεσθαι· καὶ ὅτως, εἰ βούλοιντο, κρατεῖν ἑαυτῶν. Εἰ δὲ βδελύσσοιντο ὡς μηδὲ τὰ μὴ κρεσὶ βαλλόμενα λάχανα ἐσθίειν, καὶ μὴ ὑπείκοιεν τῷ κανόνι, πεπαῦσθαι αὐτοὺς τῆς τάξεως.

Τοῦ

Τοῦ ἁγίου Βασιλείου κανὼν * ιβ'. * In libris editis xi.

ΕΚΕΙΝΟ γε μωρὸν δοκεῖ μοι καταφανὲς, τὸ εὔξασθαί τινα ὑείων μὴ ἅπτεσθαι κρεῶν. ὥστε καταξίωσον διδάσκειν αὐτοὺς τὴν ἀπαιδεύτων εὐχῶν καὶ ἐπαγγελιῶν ἀπέχεσθαι· τὴν μέντοι χρῆσιν ἀδιάφορον εἶναι συγχώρησον. Κτίσις γὰρ κτίσμα θεοῦ ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον. ὥστε ἡ εὐχὴ καταγέλαστος, οὐχ ἡ ἀποχὴ ἀναγκαία.

Sancti Basilij Canon * xii. * In libris editis xxviii.

ILLVD quidem mihi visum est ridiculum, vouere aliquem carnes suillas non tangere. Quamobrem dignare eos docere, vt ab ineptis votis, & promissis abstineant, vsum quidem esse indifferentem permitte. Nulla enim Dei creatura est reiicienda, quæ cum gratiarum actione accipitur. Quare votum est ridiculum, non abstinentia necessaria.

Τῆς ἐν Γάγγρᾳ κανὼν β'.

ΕΙ τις ἐσθίοντα κρέα χωρὶς αἵματος καὶ εἰδωλοθύτου καὶ πνικτοῦ μετ' εὐλαβείας καὶ πίστεως κατακρίνοι, ὡς ἀφ' ὧν μεταλαμβάνει ἐλπίδα μὴ ἔχοντα σωτηρίας, ἀνάθεμα ἔστω.

Gangrensis Canon 11.

SI quis eum qui carnem, præter sanguinem & idolothytum, & suffocatum, cum pietate & fide comedit, condemnat, tanquam eo quòd ea vescatur, spem non habeat salutis, sit anathema.

Τῆς αὐτῆς κανὼν α'.

ΕΙ τις τὸν γάμον μέμφοιτο, καὶ τὴν καθεύδουσαν μετὰ τοῦ ἀνδρὸς αὐτῆς, οὕσαν πιστὴν καὶ εὐλαβῆ βδελύσσοιτο ἢ μέμφοιτο, ὡς μὴ δυναμένην εἰς βασιλείαν εἰσελθεῖν, ἀνάθεμα ἔστω.

Eiusdem Canon 1.

SI quis matrimonium vituperet, & eam quæ cum marito suo dormit, quæ est fidelis & religiosa, abhorreat & infimulet, tanquam quæ non possit regnum ingredi, sit anathema.

Τῆς αὐτῆς κανὼν δ'.

ΕΙ τις διαχρίνοιτο περὶ πρεσβυτέρου γαμικοῦ ὡς μὴ χρῆναι λειτουργοῦντος αὐτὸν προσφορᾶς μεταλαμβάνειν, ἀνάθεμα ἔστω.

Eiusdem Canon IV.

SI quis de presbytero qui vxorem duxit, contendat, non oportere eo sacra celebrante, oblationi communicare, sit anathema.

Τῆς αὐτῆς κανὼν θ'.

ΕΙ τις παρθένοι ἢ ἐγκρατεύοιτο, ὡς βδελυκτῶν ὄντων τὸν γάμων διαχωρίσας, καὶ μὴ δι' αὐτὸ τὸ καλὸν τῆς παρθενίας ὄνομα, ἀνάθεμα ἔστω.

Eiusdem Canon IX.

SI quis virgo sit, vel continens, à matrimonio tanquam abominando recedens, & non propter pulchrum virginitatis nomen, sit anathema.

Τῆς αὐτῆς κανὼν ι'.

ΕΙ τις τῶν παρθενευόντων διὰ τὸν κύριον καταπαίζοιτο τῶν γαμησάντων, ἀνάθεμα ἔστω.

Eiusdem Canon X.

SI quis eorum qui sunt virgines propter Dominum, insultet in eos qui vxores duxerunt, sit anathema.

Τῆς αὐτῆς κανὼν ιδ'.

ΕΙ τις γυνὴ καταλιμπάνοι τὸν ἄνδρα, καὶ ἀναχωρεῖν αὐτὴ ἐθέλοι, βδελυττομένη τὸν γάμον, ἀνάθεμα ἔστω.

Eiusdem Canon XIV.

SI qua mulier relinquit maritum, & vult recedere, matrimonium abhorrens, sit anathema.

TITVLVS XXX.

Non oportet Episcopum aut clericum omnino, aut laïcum in aleis & ebrietatibus & cauponis deprehendi : neque ad prandium inuitatum partes tollere, neque etiam eos qui fratres conuocant contemnere : neque ipsos imbecilles fratres irridere.

Sanctorum Apostolorum Canon XLII.

EPISCOPVS, vel presbyter, vel diaconus, aleis & ebrietatibus vacans, vel cesset, vel deponatur.

Eorundem Canon XLIII.

SVBDIACONVS, vel lector, vel cantor, similia faciens, vel cesset, vel segregetur. Itidem & laïcus.

Eorundem Canon LIV.

SI quis clericus in caupona comedens deprehensus fuerit, segregetur, præterquam si in publico diuersorio in via propter necessitatem diuerterit.

Laodicena Synodi Canon XXIV.

QVOD non oporteat sacro ministerio deditos, à presbytero vsque ad diaconum, & deinceps quemlibet Ecclesiastici ordinis, vsque ad ministros, vel lectores, vel cantores, vel exorcistas, vel ostiarios, & ex ordine continentium & monachorum, in cauponam ingredi.

Eiusdem Canon LV.

QVOD non oporteat sacerdotes, aut clericos, ex collatione conuiuia peragere : sed neque laïcos.

Eiusdem Canon XXVII.

QVOD non oporteat sacro ministerio deditos, vel clericos, vel laïcos ad agapas vocatos, partes

ΤΙΤΛΟΣ Λ'.

Περὶ τοῦ μὴ δεῖν ἐπίσκοπον ἢ κληρικὸν ὅλως, ἢ λαϊκὸν ἐν κύβοις ἢ μέθαις, ἢ καπηλείοις διείσκεσθαι· μήτε ἐπαίρειν τῶν μερῶν καλούμενον εἰς ἄριστον, μήτε πάλιν καταφρονεῖν τῶν συγκαλούντων ἀδελφούς· μήτε χλευάζειν ἀδελφοὺς ἀδυνάτους.

Τῶν ἁγίων Ἀποστόλων κανὼν μϚ'.

ΕΠΙΣΚΟΠΟΝ, ἢ πρεσβύτερον, ἢ διάκονον κύβοις σχολάζοντα ἢ μέθαις, ἢ παίεσθαι, ἢ καθαιρεῖσθαι.

Τῶν αὐτῶν κανὼν μγ'.

ΥΠΟΔΙΑΚΟΝΟΣ, ἢ ἀναγνώστης, ἢ ψάλτης ἢ ὅμοια ποιῶν, ἢ παιέσθω, ἢ καθαιρείσθω· ὡσαύτως καὶ λαϊκός.

Τῶν αὐτῶν κανὼν νδ'.

ΕΙ τις κληρικὸς ἐν καπηλείῳ φωραθείη ἐσθίων, ἀφοριζέσθω, πλὴν τοῦ ἐν πανδοχείῳ ἐν ὁδῷ δι' ἀνάγκην καταλύοντος.

Τῆς ἐν Λαοδικείᾳ κανὼν κδ'.

ΟΤΙ οὐ δεῖ ἱερατικοὺς ἀπὸ πρεσβυτέρων ἕως διακόνων, καὶ ἑξῆς τῆς ἐκκλησιαστικῆς τάξεως, ὑποπρετῶν καὶ ἀναγνωστῶν, καὶ ψαλτῶν, καὶ ἐξορκιστῶν, καὶ θυρωρῶν, καὶ τῶν τάγματος τῶν ἀσκητῶν, εἰς καπηλεῖον εἰσιέναι.

Τῆς αὐτῆς κανὼν νε'.

ΟΤΙ οὐ δεῖ ἱερατικοὺς, ἢ κληρικοὺς ἐκ συμβολῆς συμπόσια ποιεῖν, ἀλλ' οὐδὲ λαϊκούς.

Τῆς αὐτῆς κανὼν κζ'.

ΟΤΙ οὐ δεῖ ἱερατικοὺς, ἢ κληρικοὺς, ἢ λαϊκοὺς καλουμένους εἰς ἀγάπην,

μέρη ἀίρῃ, ἀφ' ὧ μὴ ὕβρει τὸν ἔξω παροξύνε-σθαι τῇ ἐκκλησιαστικῇ.

Τῆς ἐν Γάγγρᾳ συνόδου ια'.

Εἴ τις καταφρονοίη τῶν ἐν πίστει ἀγάπας ποιούντων, καὶ διὰ τιμὴν τοῦ κυρίου συνκαλουμένων τοὺς ἀδελφούς, καὶ μὴ θέλοι κοινωνεῖν ἐν ταῖς κλήσεσι, διὰ τὸ ἐξουθενίζειν τὸ μυνόμενον, ἀνάθεμα ἔστω.

Τῶν ἁγίων Ἀποστόλων κανὼν κζ'.

Εἴ τις κληρικὸς κωφὸν, ἢ τυφλὸν, ἢ χωλὸν, ἢ τὸν βάσις πεπληγμένον χλευάσῃ, ἀφορισθήτω· ὡσαύτως καὶ λαϊκός.

tollere, eo quòd ignominia inuratur ordini ſacerdotali.

Gangrenſis Canon XI.

SI quis contemnat eos, qui agapas ex fide faciunt, & propter Dei honorem fratres conuocant, & nolit vocationibus communicare, quòd id quod fit vilipendat, ſit anathema.

Sanctorum Apoſtolorum Canon XXVII.

SI quis clericus claudum, vel ſurdum, vel eum cui vitioſus eſt inceſſus, irriſerit, ſeparetur. Similiter & laïcus.

ΤΙΤΛΟΣ ΛΑ'.

Περὶ τοῦ μὴ δεῖν ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ κληρικὸν ὅλως, ἢ λαϊκὸν τὰς παραδοθείσας τῇ ἐκκλησίᾳ παραλύειν νηστείας, μήτε μνήμην ἁγίων, ἢ προσφορὰν ἄρτου ποιεῖν ἐν τεσσαρακοστῇ, πλὴν εἰ μὴ μόνον ἐν ταῖς κυριακαῖς καὶ τοῖς σάββασιν· μήτε γὰμους ἐπιτελεῖν ἐν τῇ τεσσαρακοστῇ, καὶ γενέθλια.

Τῶν ἁγίων Ἀποστόλων κανὼν ξθ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὑπογεώτης, ἢ ψάλτης τὸν ἁγίαν τεσσαρακοστὴν μὴ νηστεύῃ, ἢ παρασκευήν, ἢ τετράδα, καθαιρείσθω· ἐκτὸς εἰ μὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο. εἰ δὲ λαϊκὸς ἦ, ἀφοριζέσθω.

Τῆς ἐν Γάγγρᾳ κανὼν ιθ'.

Εἴ τις τῶν ἀσκούντων χωρὶς σωματικῆς ἀνάγκης ὑπερηφανεύοιτο, καὶ τὰς παραδεδομένας νηστείας εἰς τὸ κοινὸν, καὶ φυλαττομένας ὑπὸ τῆς ἐκκλησίας παραλύοι, ἐπιτιμεσθήτω ἐν αὐτῷ τελείου λογισμοῦ, ἀνάθεμα ἔστω.

TITVLVS XXXI.

Non oportere Epiſcopum, aut presbyterum, aut clericum omnino, vel laïcum, tradita Eccleſia diſſoluere ieiunia: neque memoriam Sanctorum, aut panis oblationem facere in quadrageſima, præterquam Dominicis tantùm & ſabbatis: neque enim nuptias & natalitia in quadrageſima celebrare.

Sanctorum Apoſtolorum Canon LXIX.

SI quis Epiſcopus, vel preſbyter, aut diaconus, vel lector, vel cantor ſanctam Paſchæ quadrageſimam non ieiunat, vel quartum diem, vel paraſceuem, præterquam ſi propter imbecillitatem corporalem impediatur, deponatur. Si ſit autem laïcus, ſegregetur.

Concilij Gangrenſis Canon XIX.

SI quis eorum qui religionis exercitio ſtudent, abſque neceſſitate corporali ſe inſolenter gerat, & tradita ieiunia quæ communiter ſeruantur ab Eccleſia, diſſoluat, * perfecta in eo reſidente ratione, anathema ſit.

* *Si aliam lectionem ſequaris, quæ habet,* ἀπηνεγκωμένε ἐν αὐτῷ εἰκαίῳ λογισμοῦ, *ſic vertendum:* Illa improbante quę in eo eſt propria ratiocinatione.

Laodicenæ Synodi Canon XLIX.

QVOD non oporteat in quadrageſima panem offerre, niſi in ſabbato & Dominica ſolùm.

Eiuſdem Canon L.

QVOD non oporteat in quadrageſima poſtremæ ſeptimanæ quintâ feriâ ieiunium ſoluere, & totam quadrageſimam iniuria afficere: ſed omnem hanc hebdomadam ieiunare, atidis veſcentes.

Eiuſdem Canon LI.

QVOD non oporteat in quadrageſima Martyrum natales peragere: ſed ſanctorum Martyrum facere commemorationem in ſabbatis & Dominicis.

Eiuſdem Canon LII.

QVOD non oporteat in quadrageſima nuptias, vel natalitia celebrare.

Τῆς ἁγ Λαοδικείας κανὼν μθ'.

ΟΤΙ οὐ δεῖ ἐν τεσσαρακοστῇ ἄρτον προσφέρειν, εἰ μὴ ἐν σαββάτῳ, ἢ κυριακῇ μόνον.

Τῆς αὐτῆς κανὼν ν'.

ΟΤΙ οὐ δεῖ ἐν τεσσαρακοστῇ τὴν ὑστέραν ἑβδομάδα τοῦ πέμπτου λύειν, καὶ ὅλην τεσσαρακοστὴν ἀτιμάζειν, ἀλλὰ πάσην τὴν ἑβδομάδα νηστεύειν ξηροφαγοῦντας.

Τῆς αὐτῆς κανὼν να'.

ΟΤΙ οὐ δεῖ ἐν τεσσαρακοστῇ μαρτύρων γενέθλια ἐπιτελεῖν, ἀλλὰ τῶν ἁγίων μαρτύρων μνείαν ποιεῖν ἐν τοῖς σαββάτοις καὶ κυριακαῖς.

Τῆς αὐτῆς κανὼν νβ'.

ΟΤΙ οὐ δεῖ ἐν τεσσαρακοστῇ γάμους ποιεῖν, ἢ γενέθλιον * ποιεῖν. * ἐπιτελεῖν.

TITVLVS XXXII.

De iis qui pietatis exercitationi indiſcretè vacant, ieiunántque Dominicis & ſabbatis: atque habitus & amictus gratia faſtum præ ſe ferunt, ac religionis prætextu à parentibus, aut liberis, aut cognatis ſegregantur, aut Sanctorum memorias Eccleſiaque conuentus repudiant.

Sanctorum Apoſtolorum Canon LXVI.

SI quis clericus inuentus fuerit die Dominico, aut ſabbato, vno ſolo dempto, ieiunare, ſeparetur.

Gangrenſis Canon XVIII.

SI quis propter eam quæ exiſtimatur, exercitationem, in Dominico ieiunet, ſit anathema.

ΤΙΤΛΟΣ ΛΒ'.

Περὶ τῶν ἀσκουμένων ἀδιακρίτως, καὶ νηστευόντων κυριακὰς καὶ σάββατα· καὶ τυφουμένων ἐν περιβολαίου καὶ ἱματίου, καὶ σχήματος, καὶ προφάσει θεοσεβείας ἀπὸ γονέων, ἢ τέκνων, ἢ συζύγων χωριζομένων ἢ τὰς μνήμας τῶν ἁγίων, καὶ τὰς ἐν ἐκκλησίᾳ συναξεις παραιτουμένων.

Τῶν ἁγίων Ἀποστόλων κανὼν ξς'.

ΕΙ τις κληρικὸς εὑρεθείη, τῇ ἁγίᾳ κυριακῇ νηστεύων, ἢ τὸ σάββατον, πλὴν τοῦ ἑνὸς μόνου, ἀφοριζέσθω.

Τῆς ἐν Γάγγρᾳ κανὼν ιη'.

